1 Καὶ ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ Ιωακιμ υἱοῦ Ιωσια βασιλέως 43
Ιουδα ἐγενήθη λόγος κυρίου πρός με λέγων 2 Λαβὲ σεαυτῷ χαρτίον 2
βιβλίου καὶ γράψον ἐπ᾽ αὐτοῦ πάντας τοὺς λόγους, οὓς ἐχρημάτισα
πρὸς σὲ ἐπὶ Ιερουσαλημ καὶ ἐπὶ Ιουδαν καὶ ἐπὶ πάντα τὰ ἔθνη
ἀφ᾽ ἧς ἡμέρας λαλήσαντός μου πρός σε, ἀφ᾽ ἡμερῶν Ιωσια βασι-
λέως Ιουδα καὶ ἕως τῆς ἡμέρας ταύτης· 3 ἴσως ἀκούσεται ὁ οἶκος 3
Ιουδα πάντα τὰ κακά, ἃ ἐγὼ λογίζομαι ποιῆσαι αὐτοῖς, ἵνα ἀπο-
στρέψωσιν ἀπὸ ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ ἵλεως ἔσομαι ταῖς
ἀδικίαις αὐτῶν καὶ ταῖς ἁμαρτίαις αὐτῶν. — 4 καὶ ἐκάλεσεν Ιερε- 4
μιας τὸν Βαρουχ υἱὸν Νηριου, καὶ ἔγραψεν ἀπὸ στόματος Ιερεμιου
πάντας τοὺς λόγους κυρίου, οὓς ἐχρημάτισεν πρὸς αὐτόν, εἰς χαρ-
τίον βιβλίου. 5 καὶ ἐνετείλατο Ιερεμιας τῷ Βαρουχ λέγων Ἐγὼ φυ- 5
λάσσομαι, οὐ μὴ δύνωμαι εἰσελθεῖν εἰς οἶκον κυρίου· 6 καὶ ἀνα- 6
γνώσῃ ἐν τῷ χαρτίῳ τούτῳ εἰς τὰ ὦτα τοῦ λαοῦ ἐν οἴκῳ κυρίου
ἐν ἡμέρᾳ νηστείας, καὶ ἐν ὠσὶ παντὸς Ιουδα τῶν ἐρχομένων ἐκ
πόλεως αὐτῶν ἀναγνώσῃ αὐτοῖς· 7 ἴσως πεσεῖται ἔλεος αὐτῶν 7
κατὰ πρόσωπον κυρίου, καὶ ἀποστρέψουσιν ἐκ τῆς ὁδοῦ αὐτῶν
τῆς πονηρᾶς, ὅτι μέγας ὁ θυμὸς καὶ ἡ ὀργὴ κυρίου, ἣν ἐλάλησεν
ἐπὶ τὸν λαὸν τοῦτον. 8 καὶ ἐποίησεν Βαρουχ κατὰ πάντα, ἃ ἐνετεί- 8
λατο αὐτῷ Ιερεμιας τοῦ ἀναγνῶναι ἐν τῷ βιβλίῳ λόγους κυρίου
ἐν οἴκῳ κυρίου. — 9 καὶ ἐγενήθη ἐν τῷ ἔτει τῷ ὀγδόῳ βασιλεῖ 9
Ιωακιμ τῷ μηνὶ τῷ ἐνάτῳ ἐξεκκλησίασαν νηστείαν κατὰ πρόσωπον
κυρίου πᾶς ὁ λαὸς ἐν Ιερουσαλημ καὶ οἶκος Ιουδα. 10 καὶ ἀνεγίνω- 10
σκε Βαρουχ ἐν τῷ βιβλίῳ τοὺς λόγους Ιερεμιου ἐν οἴκῳ κυρίου
ἐν οἴκῳ Γαμαριου υἱοῦ Σαφαν τοῦ γραμματέως ἐν τῇ αὐλῇ τῇ
ἐπάνω ἐν προθύροις πύλης τοῦ οἴκου κυρίου τῆς καινῆς ἐν ὠσὶ
παντὸς τοῦ λαοῦ. — 11 καὶ ἤκουσεν Μιχαιας υἱὸς Γαμαριου υἱοῦ 11
Σαφαν ἅπαντας τοὺς λόγους κυρίου ἐκ τοῦ βιβλίου· 12 καὶ κατέβη 12
εἰς οἶκον τοῦ βασιλέως εἰς τὸν οἶκον τοῦ γραμματέως, καὶ ἰδοὺ
ἐκεῖ πάντες οἱ ἄρχοντες ἐκάθηντο, Ελισαμα ὁ γραμματεὺς καὶ Δα-

43 (𝔐 36) 1 και] > BS*, + ※εγενηθη *O* | ιωσιου A, sed in 2 etiam A ιωσια, cf. 1 2 || 2 χαρτιον (cf. 21. 27. 28. 32)] χαρτην A: cf. 6 et 23 nec non 14 | επ αυτω A | εχρηματισα (cf. 33 2 bis. 36 23 37 2)] ελαλησα BS compl.: cf. 4 | ιερουσ.] ισραηλ A | ιουδαν] ν > B*S*A || 3 ακουσονται A | ο > A | εγω λογ. ποι. αυτοις] ελαλησα επ αυτους A† | αποστραφωσιν A || 4 εγραψεν] + βαρουχ A pl. = 𝔐 | εχρηματ.] ελαλησεν BS pau.: cf. 2 || 5 ου μη δυν.] και ου δυναμαι A || 6 χαρτη SA: cf. 2 | ιουδα] του λαου A† || 7 εκ] απο A pl. | και η οργη / κυριου] tr. A(†) | ελαλ.] + κυριος A | λαον] τοπον A† || 8 λογους] pr. τους A || 9 ογδοω] πεμπτω A = 𝔐 | βασιλει] pr. τω SBc | βασ. ιωακ(ε)ιμ] tr. A† | τω μηνι] pr. εν A pl. | εξεκκλησιασαν] -σεν S* | εν ult.] εις A† | οικος] pr. ο A || 10 τους] > A, in *O* sub ※ | πυλης του > A | εν ult.] pr. και BS | εν ωσι(ν)] εις τα ωτα A || 12 οικον 1⁰] -κιαν B† | δαλιας S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/735 UNIVERSITÄT LEIPZIG